ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΚΩΝΣΤΑΝΤΙΑΣ - ΑΜΜΟΧΩΣΤΟΥ



# ΕΠΙΤΑΦΙΟΣ ΘΡΗΝΟΣ

## ΕΓΚΩΜΙΑ ΜΕΓΑΛΗΣ ΠΑΡΑΣΚΕΥΗΣ
## ΚΑΙ
## ΑΙΤΗΣΕΙΣ ΚΑΤΑ ΤΗΝ ΠΕΡΙΦΟΡΑ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ

ΑΝΑΘΕΩΡΗΜΕΝΗ 2026

# ϹΤΑϹΙϹ ΠΡΩΤΗ
## Ἦχος πλ. α΄

Ἡ ζωή ἐν τάφῳ, κατετέθης Χριστέ, καί Ἀγγέλων στρατιαί ἐξεπλήττοντο, συγκατάβασιν δοξάζουσαι τήν σήν.

Ἡ ζωή πῶς θνήσκεις; πῶς καί τάφῳ οἰκεῖς; τοῦ θανάτου τό βασίλειον λύεις δέ, καί τοῦ ᾅδου τούς νεκρούς ἐξανιστᾶς.

Μεγαλύνομέν σε, Ἰησοῦ Βασιλεῦ, καί τιμῶμεν τήν Ταφήν καί τά Πάθη σου, δι' ὧν ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς.

Μέτρα γῆς ὁ στήσας, ἐν σμικρῷ κατοικεῖς, Ἰησοῦ παμβασιλεῦ τάφῳ σήμερον, ἐκ μνημάτων τούς θανέντας ἀνιστῶν.

Ὁ Δεσπότης πάντων, καθορᾶται νεκρός, καί ἐν μνήματι καινῷ κατατίθεται, ὁ κενώσας τά μνημεῖα τῶν νεκρῶν.

Ὁ ὡραῖος κάλλει, παρά πάντας βροτούς, ὡς ἀνείδεος νεκρός καταφαίνεται, ὁ τήν φύσιν ὡραΐσας τοῦ παντός.

Ἐπί γῆς κατῆλθες, ἵνα σώσῃς Ἀδάμ, καί ἐν γῇ μή εὑρηκώς τοῦτον Δέσποτα, μέχρις ᾅδου κατελήλυθας ζητῶν.

Νεκρωθέντα πάλαι, τόν Ἀδάμ φθονερῶς, ἐπανάγεις πρός ζωήν τῇ νεκρώσει σου, νέος Σῶτερ ἐν σαρκί φανείς Ἀδάμ.

Τήν πλευράν ἐνύγης, ὁ πλευράν εἰληφώς, τοῦ Ἀδάμ ἐξ ἧς τήν Εὔαν διέπλασας, καί ἐξέβλυσας κρουνούς καθαρτικούς.

Ὁ ζωώσας φίλον, Ἰησοῦ μου τόν σόν, τεταρταῖον ἄπνουν ὄντα τόν Λάζαρον, πῶς αὐτός τριημερεύεις εν νεκροίς;

Ὡς βροτός μέν θνῄσκεις, ἑκουσίως Σωτήρ, ὡς Θεός δέ τούς θνητούς ἐξανέστησας, ἐκ μνημάτων καί βυθοῦ ἁμαρτιῶν.

Ὡς νεκρός ἐν τάφω, ὡς Θεός σύν Πατρί, καί ἐν ᾅδῃ ὡς Δεσπότης τῆς κτίσεως, τούς δεσμίους ἀπολύεις τῆς φθορᾶς.

Τίς μοι δώσει ὕδωρ, καί δακρύων πηγάς, ἡ Θεόνυμφος Παρθένος ἐκραύγαζεν, ἵνα κλαύσω τόν γλυκύν μου Ἰησοῦν;

Ὢ βουνοί καί νάπαι, καί ἀνθρώπων πληθύς, καί τά κτίσματα θρηνήσατε ἅπαντα, σύν ἐμοί τῇ τοῦ Θεοῦ ἡμῶν Μητρί.

Πότε ἴδω Σῶτερ, σέ τό ἄχρονον φῶς, τήν χαράν καί ἡδονήν τῆς καρδίας μου˙ ἡ Παρθένος ἀνεβόα γοερῶς.

Τὸν ἐν Κύπρῳ, Σῶτερ, παροικοῦντα λαόν, τὸν τὴν θείαν σου ταφὴν μεγαλύνοντα, ῥῦσαι τάχει ἐκ δουλείας πονηρᾶς.

Εἰς πατρῴους οἴκους καὶ σκηνώματα Σά, ἐπιστρέψαι καταξίωσον, Κύριε, τοὺς τὴν ἔνδοξον τιμῶντάς Σου ταφήν.

Μακρυνθέντες πάντες ἐντολῶν ἱερῶν, ἁμαρτίας τὰ ὀψώνια δρέπομεν, ἀλλ᾽ αἰτοῦμεν πάτρης λύτρωσιν κλαυθμῷ.

Ἡ ἐν Κύπρῳ, Σῶτερ, τῶν ἁγίων πληθύς, ἐν μιᾷ φωνῇ ἱκετεύει Σοι, τοὺς τῆς Ἄγαρ ἀποδίωξον ταχύ.

Δόξα πατρί...

Ἀνυμνοῦμεν Λόγε σέ τόν πάντων Θεόν, σύν Πατρί καί τῷ Ἁγίῳ σου Πνεύματι, καί δοξάζομεν τήν θείαν σου Ταφήν.

Καί νῦν ...

Μακαρίζομέν σε, Θεοτόκε ἁγνή, καί τιμῶμεν τήν Ταφήν τήν τριήμερον, τοῦ Υἱοῦ σου καί Θεοῦ ἡμῶν πιστῶς.

Καί πάλιν τό πρῶτον Τροπάριον

Ἡ ζωή ἐν τάφῳ, κατετέθης Χριστέ, καί Ἀγγέλων στρατιαί ἐξεπλήττοντο, συγκατάβασιν δοξάζουσαι τήν σήν.

Εἶτα Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ
## Ἦχος πλ. α΄

Ἄξιόν ἐστι, μεγαλύνειν σε τόν Ζωοδότην, τόν ἐν τῷ Σταυρῷ τάς χεῖρας ἐκτείναντα, καί συντρίψαντα τό κράτος τοῦ ἐχθροῦ.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τόν πάντων Κτίστην· τοῖς σοῖς γάρ παθήμασιν ἔχομεν, τήν ἀπάθειαν ῥυσθέντες τῆς φθορᾶς.

Ἔφριξεν ἡ γῆ, καί ὁ ἥλιος Σῶτερ ἐκρύβη, σοῦ τοῦ ἀνεσπέρου φωτός Χριστέ, ἐν τῷ τάφω δύντος νῦν σωματικῶς.

Ἄνω σε Σωτήρ, ἀχωρίστως τῷ Πατρί συνόντα, κάτω δέ νεκρόν ἡπλωμένον γῇ, καθορῶντα φρίττει νῦν τά Σεραφείμ.

Ῥήγνυται ναοῦ, καταπέτασμα τῇ σῇ σταυρώσει, κρύπτουσι φωστῆρες Χριστέ τό φῶς, σοῦ κρυβέντος τοῦ ἡλίου ὑπό γῆν.

Θρῆνον ἱερόν, δεῦτε ᾄσωμεν Χριστῷ θανόντι, ὡς αἱ μυροφόροι γυναῖκες πρίν, ἵν ἀκούσωμεν τό Χαῖρε σύν αὐταῖς.

Μύρον ἀληθῶς, σύ ἀκένωτον ὑπάρχεις Λόγε· ὅθεν σοι καί μύρα προσέφερον, μυροφόροι σοι τῷ ζῶντι ὡς νεκρῷ.

Μύροις ὦ Χριστέ, ὁ Νικόδημος καί ὁ εὐσχήμων, σέ καινοπρεπῶς περιστείλαντες· ἀνεβόων φρῖξον, ἅπᾶσα ἡ γῆ.

Ἔπτηξεν Ἀδάμ, Θεοῦ βαίνοντος ἐν Παραδείσῳ, χαίρει δέ πρός ᾅδην φοιτήσαντος, πεπτωκώς ποτέ καί νῦν ἐξεγερθείς.

Ἔφριξεν ἰδών, τό ἀόρατον φῶς σε Χριστέ μου, μνήματι κρυπτόμενον ἄπνουν τε, καί ἐσκότασεν ὁ ἥλιος τό φῶς.

Γῆ σε πλαστουργέ, ὑπό κόλπους δεξαμένη Σῶτερ, τρόμῳ συσχεθεῖσα τινάσσεται, ἀφυπνώσασα νεκρούς τῷ τιναγμῷ.

Ὥσπερ πελεκάν, τετρωμένος τήν πλευράν σου Λόγε, σούς θανόντας παῖδας ἐζώωσας, ἐπιστάξας ζωτικούς αὐτοῖς κρουνούς.

Εἶδε τόν σεισμόν, ἑκατόνταρχος καί τα σημεῖα, και Υἱόν Θεοῦ σε ἐκήρυττε σταυρωθέντα και θανόντα δι' ἡμᾶς.

Ὕμνοις σου Χριστέ, νῦν τήν Σταύρωσιν καί τήν Ταφήν τε, ἅπαντες πιστοί ἐκθειάζομεν, οἱ θανάτου λυτρωθέντες σῇ ταφῇ.

Κράζομεν, Χριστέ, μετανοίας ἐν κλαυθμῷ βοῶντες, ἀλλοθρήσκων τὰ στρατεύματα δίωξον, καὶ εἰρήνην πᾶσι χάρισαι ἡμῖν.

Ἔτεσι πολλοῖς καὶ ἐν θλίψει βαρυτάτῃ, Σῶτερ, μακρὰν ἑστιῶν ἑορτάζοντες, ἐξαιτούμεθα ἐπάνοδον ταχεῖαν ἐν αὐταῖς.

Ἔγερσιν ἰδεῖν, τὴν τριήμερον τὴν Σὴν Οἰκτίρμον, καὶ πατρίδος Κύπρου τὴν ἐξανάστασιν, καταξίωσον ἰδεῖν Υἱὲ Θεοῦ.

Κράζουσι, Χριστέ, σὺν ἡμῖν Βαρνάβας τε καὶ Παῦλος· λύτρωσιν παράσχου τοῖς δούλοις Σου καὶ πατρίδα ἐλευθέρωσον ταχύ.

## Δόξα πατρί...

Ἄναρχε Θεέ, συναΐδιε Λόγε καί Πνεῦμα, σκῆπτρα τῶν Ἀνάκτων κραταίωσον, καί εἰρήνην δός ἡμῖν ὡς ἀγαθός.

## Καί νῦν ...

Τέξασα ζωήν, Παναμώμητε ἁγνή Παρθένε, παῦσον Ἐκκλησίας τά σκάνδαλα, καί εἰρήνευσον αὐτὴν ὡς ἀγαθή.

## Καί πάλιν τό πρῶτον Τροπάριον

Ἄξιόν ἐστι, μεγαλύνειν σε τόν Ζωοδότην, τόν ἐν τῷ Σταυρῷ τάς χεῖρας ἐκτείναντα, καί συντρίψαντα τό κράτος τοῦ ἐχθροῦ.

## Εἶτα Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης τῶν Χερουβεὶμ ἐπαναπαυόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

# ΣΤΑΣΙΣ ΤΡΙΤΗ
## Ἦχος γ΄

Αἱ γενεαί πᾶσαι, ὕμνον τῇ Ταφῇ σου, προσφέρουσι Χριστέ μου.

Τοῦ ξύλου καθελών σε, ὁ ἀπ᾽ Ἀριμαθαίας, ἐν τάφῳ σε κηδεύει.

Ὁ Ἰωσήφ κηδεύει, μετά τοῦ Νικοδήμου, νεκροπρεπῶς τον κτίστην.

Δεῦρο πᾶσα κτίσις, ὕμνους ἐξοδίους, προσοίσωμεν τῷ Κτίστῃ.

Υἱέ Θεοῦ παντάναξ, Θεέ μου πλαστουργέ μου, πῶς πάθος κατεδέξω;

Οὗς ἔθρεψε τό μάννα, ἐκίνησαν τήν πτέρναν, κατά τοῦ εὐεργέτου.

Πικράν χολήν και όξος, οικτίρμον εποτίσθης, πικρίας λύων γεύσιν.

Ἰκρίω προσεπάγης, ὁ πάλαι τόν λαόν σου, νεφέλης στύλω σκέπων

Ὢ τῆς παραφροσύνης, καί τῆς χριστοκτονίας, τῆς τῶν προφητοκτόνων!

Ὡς ἄφρων ὑπηρέτης, προδέδωκεν ὁ μύστης, τήν ἄβυσσον σοφίας.

Ἀνέκραζεν ἡ Κόρη, θερμῶς δακρυῤῥοοῦσα, τά σπλάγχνα κεντουμένη.

Ὢ γλυκύ μου ἔαρ, γλυκύτατόν μου τέκνον, ποῦ ἔδυ σου τό κάλλος;

Ὢ φῶς τῶν ὀφθαλμῶν μου, γλυκύτατόν μου τέκνον, πῶς τάφῳ νῦν καλύπτῃ;

Ἀνάστα ζωοδότα, ή σέ τεκοῦσα Μήτηρ, δακρυῤῥοοῦσα λέγει.

Αι μυροφόροι Σῶτερ, τῷ τάφῳ προσελθοῦσαι, προέφερον σοι μύρα.

Ἔῤῥαναν τόν τάφον, αἱ Μυροφόροι μύρα, λίαν πρωΐ ἐλθοῦσαι. (τρίς)

Αρώματα και μύρα μαθήτριαι γυναίκες, προσφέρουσι τω τάφω.

Και μνήσθητι Σωτήρ μου, ἡμῶν τῶν ανυμνούντων τά τίμια σου πάθη.

Ἰλέω ὄμματί Σου, ἐπίβλεψον τους πάντας, έν κρίσει τῇ μελλούσῃ.

Και φρούρει την σήν ποίμνην, μετά του ποιμενάρχου, Χριστέ μου πανοικτίρμον.

Cπεῦσον ἐξαναστῆναι, τῆς Κύπρου λύων Λόγε, δεσμὰ στυγνῆς δουλείας.

Ἰδεῖν ἐλευθερίαν ἐκ τῶν τῆς Ἄγαρ, Σῶτερ, δίδου τοῖς σοῖς ἱκέταις.

Υἱὲ Θεοῦ παντάναξ, ἐλευθερίαν δίδου τῇ νήσῳ τῶν Ἁγίων.

Cὺν σῇ ἐγέρσει Λόγε, ἰδεῖν καὶ τῆς πατρίδος ἀνάστασιν αἰτοῦμεν.

## Δόξα πατρί...

Ὦ Τριάς Θεέ μου, Πατήρ Υἱός καί Πνεῦμα, ἐλέησον τόν Κόσμον.

## Καί νῦν ...

Ἰδεῖν τήν τοῦ Υἱοῦ σου, Ἀνάστασιν Παρθένε, ἀξίωσον σούς δούλους.

## Καί πάλιν τό πρῶτον Τροπάριον

Αἱ γενεαί πᾶσαι, ὕμνον τῇ Ταφῇ σου, προσφέρουσι Χριστέ μου.

## Εἶτα Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

# ΑΙΤΗΣΕΙΣ
# ΚΑΤΑ ΤΗΝ ΕΞΟΔΟΝ ΚΑΙ ΠΕΡΙΦΟΡΑ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ

## Α΄ ΣΤΑΣΙΣ

**Ὁ Διάκονος ἢ ὁ Ἱερεύς: Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.**

**Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)**

**Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί Ὀρθοδόξων Χριστιανῶν.**

**Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)**

**Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ τοῦ Πατρός καί Ἀρχιεπισκόπου ἡμῶν Βασιλείου καί πάσης΄ τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.**

**Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)**

*

**Ὁ Ἱερεύς: Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.**

**Ὁ Χορός: Ἀμήν.**

** Ἔτι δεόμεθα ὑπέρ τῆς Μητρός ἡμῶν Χρυσοστόμης Μοναχῆς καί τῆς συνοδείας αὐτῆς.*

# Β΄ ΣΤΑΣΙΣ

Ὁ Διάκονος ἢ ὁ Ἱερεύς: Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)

Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ τοῦ Πατρός καί Ἀρχιεπισκόπου ἡμῶν Βασιλείου καί πάσης΄ τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)

Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ΄ τοῦ δημάρχου, ἀντιδημάρχου τῆς πόλεως ταύτης μετά τοῦ δημοτικοῦ συμβουλίου, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῇ πόλει (τη κόμη) καί νήσο ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τοῦ ἁγίου Ναοῦ τούτου, τῶν κοπιώντων καί ψαλλόντων ἐν αυτῷ.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)

Ὁ Ἱερεύς: Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

# Γ' CTACIC

Ὁ Διάκονος ἢ ὁ Ἱερεύς: Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ')

Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ τοῦ Πατρός καί Ἀρχιεπισκόπου ἡμῶν Βασιλείου καί πάσης' τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ')

Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, διαφυλάξεως, μακροημερεύσεως, και ενδυναμώσεως πάσης ἀρχῆς καί ἐξουσίας ἐν τῆ Νήσω ἡμῶν,* καί υπέρ τοῦ Κύριον τόν Θεόν ἡμῶν ἐπί πλέον συνεργῆσαι καί κατευοδῶσαι αὐτούς ἐν πάσιν.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ')

Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ απελευθερώσεως τῆς Νήσου ἡμῶν, ἀνευρέσεως πάντων τῶν αγνοουμένων αδελφῶν ἡμῶν, ἐνισχύσεως τῶν ἐγκλωβισμένων καί ἀποκαταστάσεως τῶν ἐκτοπισμένων εἰς τάς πατρογονικάς αὐτών ἐστίας.

Ὁ Ἱερεύς: Ὅτι σόν τό κράτος, καί σοῦ ἐστιν ἡ Βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

* (τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρήστου ἡμῶν στρατού)

# Δ΄ CTACIC

## ἔξωθεν τοῦ ναοῦ

Ὁ Διάκονος ἢ ὁ Ἱερεύς: Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)

Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ τοῦ Πατρός καί Ἀρχιεπισκόπου ἡμῶν Βασιλείου καί πάσης΄ τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)

Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως των ἁμαρτιῶν των δούλων του Θεοῦ, πάντων τῶν συνελθόντων καί ἐν κατάνυξι συμμετεχόντων εἰς τήν ἱεράν λιτάνευσιν ταύτην, μετά τῶν οἰκείων αὐτῶν.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)

Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ μακαρίας, μνήμης καί αἰωνίου ἀναπαύσεως πάντων τῶν ἀπ’ αἰῶνος προαναπαυσαμένων πατέρων καί ἀδελφῶν ἡμῶν [ἐκ τῆς πόλεως και ἐπαρχίας ταύτης], τῶν ἐνθάδε εὐσεβῶς κειμένων καί ἁπανταχοῦ ὀρθοδόξων.

Ὁ Χορός: «Αιωνία η μνήμη» (γ΄)

Ὁ Ἱερεύς: Ὅτι σύ εἶ ἡ ἀνάστασις, ἡ ζωή, καί ἡ ἀνάπαυσις, Χριστέ ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί, καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αιώνων.

Ὁ Χορός: Ἀμήν.

# ΔΕΗΣΙΣ
## εἰς οἶκον

Ὁ Διάκονος ἢ ὁ Ἱερεύς: Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)

Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως των ἁμαρτιῶν των δούλων Σου, (και μνημονεύει ών βούλεται ζώντων) μετά τῶν οἰκείων αὐτοῦ/ῆς/ῶν.

Ὁ Χορός: Κύριε, ἐλέησον(γ΄)

Ὁ Ἱερεύς: Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

